# TEZAUR LITURGIC

## 4 IULIE

# SLUJBA SF.IERARH ANDREI, ARHIEPISCOPUL CRETEI

ATENA,2010


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# ΤΗ Δ΄ ΤΟΥ ΙΟΥΛΙΟΥ ΜΗΝΟΣ, ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΝΔΡΕΟΥ ΤΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΡΗΤΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν στίχους στ΄ και ψάλλομεν Στιχηρά Προσόμοια. Ήχος πλ. δ΄. Τί υμάς καλέσωμεν.

Τί σε νυν Ανδρέα καλέσωμεν; ασκητήν των παθημάτων, αμαυρούντα τας ορμάς, λειτουργόν ιερουργούντα Ευαγγέλιον Χριστού; κιθάραν, μελωδούσαν τα του Πνεύματος; κινύραν, καταθέλγουσαν τα σύμπαντα; Νέον Δαυϊδ γνωριζόμενον, της κιβωτού προσκιρτήσαντα, της χάριτος, και της νέας διαθήκης σοφέ;

Τί σε νυν Ανδρέα προσείπωμεν; μιμητήν των ανδρικώς, ηγωνισμένων εκλεκτών; επαινέτην των Μαρτύρων; Των αγίων αψευδή, αλείπτην αρετής προς επανάλειψιν; Ζωγράφον, της του βίου ματαιότητος; Υφηγητήν ακριβεστατον, δογματιστήν αληθέστατον: ικέτευε, του σωθήναι τας ψυχάς ημών.

Τί σε νυν Ανδρέα προσφθέγξωμαι; των αγίων Ιεροσολύμων, βλάστημα τερπνόν; των δογμάτων των ορθών, της ευσεβείας στηριγμόν; Της Κρήτης, Ιεράρχην ιερώτατον; Τον κόσμον,

φρυκτωρίαις καταυγάζοντα, Ανατολής εξορμώμενον, φωτίζοντα τα Εσπέρια: ικέτευε, του σωθήναι τας ψυχάς ημών.

Έτερα. Ήχος α΄. Των ουρανίων ταγμάτων.

Ορθοδοξίας εμπρέπων θείοις υψώμασιν, αρχιερέων κλέος, τη λυχνία ετέθης, άξιος εργάτης μισθόν αληθώς, των σων πόνων δρεπόμενος· και δια τούτο χαρίσματα εκ Θεού, εκομίσω παμμακάριστε.

Ο μυστηπόλος της κάτω φρικτής τραπέζης εκεί, εν ουρανοίς Κυρίω, την θυσίαν προσφέρει, την άϋλον, και θείαν αύλως αεί, εποπτεύων ημάς ταις αυτού, προς την Αγίαν Τριάδα πρεσβευτικαίς, ικεσίαις ο μακάριος.

Τω Βασιλεί των αιώνων Ανδρέα Κρήτης σοφέ, νυν παρεστώς δυσώπει, υπέρ των ικετών σου, ρυσθήναι πάσης βλάβης και πειρασμών, και κινδύνων και θλίψεων, και νοσημάτων παντοίων και προς ζωήν, την ανέσπερον οδήγησον.

Δόξα. Ήχος πλ. δ΄.

Δεύτε φιλέορτοι πάντες, πνευματικήν χορείαν συστησάμενοι, Ανδρέαν τον πάνσοφον εορτάσωμεν τον πλήρη γνώσεως και σοφίας, τον πιστόν ιεράρχην του Χριστού, τον πύργον της ευσεβείας και της εν Κρήτη Εκκλησίας τον φαεινότατον αστέρα. Ούτος γαρ αποστολικαίς ηγλαϊσμένος χάρισι, και την εξ ύψους δύναμιν ενδεδυμένος του Αγίου Πνεύματος, κατά των ακαθάρτων πνευμάτων το κράτος εκτήσατο και ταύτα πόρρω της Κρήτης

εδίωξε, χάριν εξαίρετον ειληφώς παρά Χριστού του Θεού, του παρέχοντος ημίν το μέγα έλεος.

Και νυν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Είσοδος. Φως ιλαρόν. Το Προκείμενον της ημέρας· και τα Αναγνώσματα

Παροιμιών το Ανάγνωσμα

Μνήμη δικαίου μέτ' εγκωμίων, και ευλογία Κυρίου επί κεφαλήν αυτού. Μακάριος άνθρωπος, ος εύρε σοφίαν, και θνητός ος οίδε φρόνησιν. Κρείσσον γαρ αυτήν εμπορεύεσθαι, η χρυσίου και αργυρίου θησαυρούς. Τιμιωτέρα δε εστι λίθων πολυτελών, παν δε τίμιον ουκ άξιον αυτής εστιν. Εκ γαρ του στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δε και έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου, ω τέκνα· σεμνά γαρ ερώ, και μακάριος άνθρωπος, ος τας εμάς οδούς φυλάξει. Αι γαρ έξοδοί μου, έξοδοι ζωής, και ετοιμάζεται θέλησις παρά Κυρίου. Δια τούτο παρακαλώ υμάς, και προΐεμαι εμήν φωνήν υιοίς ανθρώπων. Ότι εγώ η Σοφία κατεσκεύασα βουλήν, και γνώσιν και έννοιαν εγώ επεκαλεσάμην. Εμή βουλή και ασφάλεια, εμή φρόνησις, εμή δε ισχύς. Εγώ τους εμέ φιλούντας αγαπώ, οι δε εμέ ζητούντες ευρήσουσι χάριν. Νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δε απαίδευτοι ένθεσθε καρδίαν. Εισακούσατέ μου και πάλιν· σεμνά γαρ ερώ, και ανοίγω από χειλέων ορθα. Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου,

εβδελυγμένα δε εναντίον εμού χείλη ψευδώ. Μετά δικαιοσύνης πάντα τα ρήματα του στόματός μου, ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες. Πάντα ευθέα εστί τοις νοούσι, και ορθά τοις ευρίσκουσι γνώσιν. Διδάσκω γαρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, και πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομώντος το Ανάγνωσμα

Στόμα δικαίου αποστάζει σοφίαν, γλώσσα δε αδίκου εξολείται. Χείλη ανδρών σοφών επίστανται χάριτας, στόμα δε ασεβών καταστραφήσεται. Ζυγός δόλιος, βδέλυγμα ενώπιον Κυρίου, στάθμιον δε δίκαον, δεκτόν αυτώ εστίν. Ου εάν εισέλθη ύβρις, εκεί και ατιμία· στόμα δε σοφών μελετά σοφίαν. Τελειότης ευθέων οδηγήσει αυτούς. Ουκ ωφελήσουσιν υπάρχοντα εν ημέρα θυμού, δικαιοσύνη δε ρύεται αυτούς εκ θανάτου. Αποθανών δίκαιος, έλιπε μετάμελον, πρόχειρος δε γίνεται και επίχαρτος ασεβών απώλεια. Δικαιοσύνη αμώμου ορθοτομεί οδούς, ασεβεία εαυτών αλίσκονται παράνομοι. Τελευτήσαντος ανδρός δικαίου, ουκ όλλυται ελπίς, το δε καύχημα των ασεβών όλλυται. Δίκαιος εκ θήρας εκδύνει, αντ’ αυτού δε παραδίδοται ο άσεβής. Εν στόματι παρανόμων παγίς πολίταις, αίσθησις δε δικαίων εύοδος. Εν αγαθοίς δικαίων κατώρθωται πόλις, και εν απωλεία ασεβών αγαλλίαμα. Εν ευλογία ευθέων κατασκαφήσεται. Μυκτηρίζει πολίτας ενδεής φρενών, ανήρ δε φρόνιμος ησυχίαν άγει.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (δ΄ 7-15).

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον, ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις· και ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού. Βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες, και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Εις την Λιτήν τα Ιδιόμελα. Ήχος δ΄.

Ενατενίσας ακλινώς, τω ύψει της γνώσεως και κατοπτεύσας αδήλως σοφίας τον βυθόν, σαις διδαχαίς κόσμον κατεπλούτησας, πάτερ Ανδρέα· υπέρ ημών Χριστόν δυσώπει, Κρήτης Ιεράρχα.

Ήχος πλ. δ΄.

Δαυϊτικοίς άσμασι τον πνευματικόν ασματογράφον, ευφημήσωμεν λεγοντες· Εξεχύθη η χάρις εν χείλεσί σου Ανδρέα πάτερ, και ανεδείχθη η γλώσσά σου κάλαμος γραμματέως οξυγράφου, καλλιγραφούσα ημίν μέλη τα σωτηρία, δι ὧν την κατά Χριστόν οικονομίαν και της Αγίας Τριάδος το μέγα μυστήριον ασματικώς

δοξολογείν διδασκόμεθα, αιτούμενοι ταις ψυχαίς ημών το μέγα έλεος.

Δόξα. Ήχος γ΄.

Η μεγάλη της αληθείας σάλπιγξ, ο σοφώτατος Ανδρέας, προς ευωχίαν σήμερον συγκαλείται την Εκκλησίαν, φαιδρώς πάντες πιστοί προς την πανήγυριν υπαντήσωμεν του καλού ποιμένος, ύμνοις γεραίροντες τους ιερούς αυτού πόνους, όπως ταις πρεσβείαις αυτού λάβωμεν παρά Χριστού του Θεού το μέγα έλεος.

Και νυν. Θεοτοκίον.

Εις τον Στίχον· Προσόμοια. Ήχος α΄. Των ουρανίων ταγμάτων.

Τας ηδονάς του γεώδους μισήσας σώματος, καθαρωτάτη γνώμη, και καρδία Ανδρέα, Κυρίω ωκειώθης πάτερ σοφέ, και θεόπνευστον όργανον, του Παρακλήτου εδείχθης μέλος ημίν, κελαδήσας το σωτήριον.

Στίχ. ΟΙ Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην...

Την του Κυρίου Μητέρα ευρών υπόθεσιν, μεγίστων εγκωμίων, μελιρρύτοις σου λόγοις, ανύμνησας Ανδρέα των ιερών Αποστόλων Μαρτύρων τε, τους μακαρίους συλλόγους μεθ ων ημών, των τιμώντων σε μνημόνευε.

Στιχ. Καυχήσονται Όσιοι εν δόξη...

Ορθοδοξίας σε στήλην πάτερ γιγνώσκομεν, εικόνα σωφροσύνης, και πραότητος τύπον, και θείον υμνογράφον τας του Χριστού, Εκκλησίας φαιδρύνοντα, ιερομύστα Ανδρέα· όθεν την σην, εορτάζομεν πανήγυριν.

Δόξα. Ήχος πΑ. β΄.

Ιεραρχών την καλλονήν, Κρητών το μέγα κλέος, την βρύσιν των ασμάτων, υμνωδιών την πηγήν την μελίρρυτον, συνελθόντες ω φιλέορτοι, ασματικοίς εγκωμίοις καταστέψωμεν λέγοντες· Χαίροις των θεσπεσίων ωδών κιθάρα λιγυρά, Ανδρέα πατήρ ημών· χαίροις το τερπνότατον άκουσμα της θείας Εκκλησίας και εντρύφημα ήδιστον· χαίροις η εναρμόνιος λύρα και εύρυθμος θεοτερπνών ασμάτων. Αλλ ὦ πάτερ τρισόλβιε, μη ελλίπης πρεσβεύειν υπέρ ημών προς Κύριον, των εκ πόθου τιμώντων το ιερόν σου μνημόσυνον.

Και νυν. Θεοτοκίον. Ο αυτός.

Θεοτόκε συ ει η άμπελος... μετά του Ιεράρχου...

Το, Νυν απολύεις. το Τρισάγιον και το

Απολυτίκιον. Ήχος πλ. δ΄.

Ορθοδοξίας ο φωστήρ, Εκκλησίας το στήριγμα και διδάσκαλε, Ιεραρχών η καλλονή, των θεολόγων υπέρμαχος απροσμάχητος, Ανδρέα σοφέ, Κρήτης το καύχημα, κήρυξ της χάριτος. Ικέτευε δια παντός, σωθήναι τας ψυχάς ημών.

Δόξα. Και νυν.

Ο δι ἡμᾶς γεννηθείς εκ Παρθένου...

Και Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α΄ Στιχολογίαν,

Κάθισμα. Ήχος α΄. Τον τάφον σου Σωτήρ.

Ως ήλιος λαμπρός, ως αστήρ εωσφόρος, η μνήμη σου σοφέ, Ιεράρχα Ανδρέα, επέλαμψε τοις πέρασι, και πιστών την διάνοιαν, κατεφώτισε, ταις των θαυμάτων ακτίσι, και κατηύγασε, των σε τιμώντων εκ πόθου, καρδίας αοίδιμε.

Δόξα. Και νυν. Θεοτοκίον.

Μαρία η τας τρεις, ανηκούστους ενώσεις, ενώσασα φρικτώς, παρθενίαν και τόκον, Θεόν τε και άνθρωπον, πίστιν τε και πιστεύουσαν, τοις φρικώδεσι, τούτοις καρδία ανθρώπου, ημάς ενωσον, τη του Υιού σου αγάπη, και σώσον Πανύμνητε.

Μετά την β΄ Στιχολογίαν, Κάθισμα. Ήχος δ΄. Επεφάνης σήμερον.

Ώσπερ άστρον άδυτον, και μετά πότμον, σων δογμάτων λάμψεσι, φωταγωγείς δια παντός, της Κρήτης πάσης το πλήρωμα, Ανδρέα πάτερ, ο κήρυξ της χάριτος.

Δόξα. Και νυν. Θεοτοκίον.

Επληγώθην πάθεσιν, ιάτρευσον με, εν κακοίς απόλλυμαι, σώσόν με Μήτερ του Θεού, η τον Σωτήρα κυήσασα, και ιατήρα, των νόσων Πανύμνητε.

Μετά τον Πολυέλεον, Κάθισμα. Ήχος ο αυτός.

Εξ Εώας έλαμψας, Ανδρέα πάτερ, και την Κρήτην άπασαν, καταφωτίζεις νοητώς, βολαίς των θείων δογμάτων σου, και ιαμάτων, ταις χάρισιν ένδοξε.

Δόξα. Όμοιον.

Ευσεβείας πρόμαχος, συ ανεδείχθης, και της Κρήτης γέγονας, περιφανέστατος λαμπτήρ, Ανδρέα πάτερ σεβάσμιε· όθεν απαύστως τιμώμεν την μνήμην σου.

Και νυν. Θεοτοκίον. Όμοιον.

Η προστασία άμαχε, των εν ανάγκαις, και πρεσβεία έτοιμος, των ελπιζόντων επί σε, από κινδύνων με λύτρωσαι, και μη παρίδης, η πάντων βοήθεια.

Προκείμενον: Το στόμα μου λαλήσει σοφίαν και η μελέτη της καρδίας μου σύνεσιν.

Στ. : Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην και οι όσιοί σου, αγαλλιάσει αγαλλιάσονται.

Ευαγγέλιον εις Ιεράρχην, Νοεμβρίου 13. Ο Ν΄.

Δόξα. Ταις του Ιεράρχου...

Και νυν. Ταις της Θεοτόκου...

Ελέησον με ο Θεός....

Και το Ιδιόμελον. Ήχος πλ. β΄.

Εξεχύθη η χάρις εν χείλεσί σου Ανδρέα πάτερ, και γέγονας ποιμήν της των Κρητών Εκκλησίας, διδάσκων τα λογικά πρόβατα πιστεύειν εις Τριάδα ομοούσιον εν μια Θεότητι.

Είτα ο Κανών της Θεοτόκου, ποίημα του Αγίου Ανδρέου.

Ωδή α΄. Ήχος πλ. α΄. Ίππον και αναβάτην.

Ψάλλειν αδιαλείπτως, σοι χρεωστούμεν Αγνή, και την σην προστασίαν, επικαλείσθαι πάντοτε, ην πέμψαι σπλαγχνίσθητι, σοις ικέταις, όπως απαλλαγώμεν του πολεμήτορος.

Ύδωρ τη κεφαλή μου, τις δώσει Πάναγνε; ει μη συ των βλεφάρων, αποκενώσης δάκρυα, και δώης μοι κλαύσασθαι, την ψυχήν μου ήνπερ, εξειργασάμην νεκράν τοις πταίσμασι.

Λόγω των ζώων πάντων, μόνος εγώ τιμηθείς τη προνοία του Κτίστου, αλόγως καθυπέκυψα, Πανύμνητε πάθεσι, ψυχοφθόροις· όθεν, εξωμοιώθην αλόγοις κτήνεσι.

Κλίμαξ ουρανομήκης, των αρετών η οδός, αναφέρουσα λόγω, ψυχάς προς τα ουράνια, ης βαίνειν με ποίησον, τας βαθμίδας πράξει, και θεωρία Θεοχαρίτωτε.

Και του Αγίου ο παρών, ου η Ακροστιχίς· Ύμνοις κροτώμεν ανδρικοίς τον Ανδρέαν. Ποίημα Θεοφάνους.

Ωδή α΄. Ήχος πλ. α΄. Ίππον και αναβάτην.

Ύπνον από βλεφάρων, εκτιναξάμενος, σεαυτόν τω Δεσπότη, δι ἀρετῆς ητοίμασας, φαιδρόν καταγώγιον, θεοφάντορ Όσιε· όθεν ώφθης Θεού ενδιαίτημα.

Μέλει παναρμονίω, την σην κινύραν κινών, την Χριστού Εκκλησίαν, υμνολογών εφαίδρυνας, Ανδρέα θεσπέσιε, του Αγίου Πνεύματος, ενηχούμενος θεία χάριτι.

Νόμω τω θεογράφω, σοφώς πειθόμενος, τα του σώματος πάθη, ασκητικώς ενέκρωσας, τον νουν δε επτέρωσας, τω σφοδρώ σου έρωτι, άδων άσματα θεία πάνσοφε.

Θεοτοκίον.

Όλος επιθυμία, και άχραντος γλυκασμός, ο Υιός και Θεός σου, των αγαθών το πλήρωμα, υπάρχει Πανάμωμε· ον δυσώπει ρύσασθαι, τους εν πίστει νυν σοι προστρέχοντας.

Ωδή γ΄. Της Θεοτόκου. Ο πήξας επ οὐδενός.

Σοφίας ενυποστάτου Μήτηρ γεγένησαι, του Θεού και Λόγου Μαρία Άχραντε · όνπερ εκδυσώπησον Αγνή, ρανίδα θείου φόβου, εναποστάξαι τη καρδία μου, όπως εμπλησθώ θείας γνώσεως.

Ψεκάδες του υετού την γην εκπιαίνουσι, και καρπόν βλαστάνειν Αγνή παρέχουσιν· όμβροι δε δακρύων την ψυχήν, αρδεύουσιν, εγώ δε, σκληράν καρδίαν και ανάλγητον, έχων ουδαμώς κατανύσσομαι.

Αΰλως τοις νοεροίς ο νους συγγινόμενος, ως λιβάδας έλκει δακρύων χεύματα· εμού Θεομήτορ δε ο νους, τη γη προσηλωμένος, πολυσχιδείς εννοίας κέκτηται, και ως το εικός απαμβλύνεται.

Το μύρον της αρετής εν είδεσι τέσσαρσι, Θεομήτορ άριστα συσκευάζεται· φρονήσει ανδρεία ψυχική, δικαιοσύνη θεία, και σωφροσύνης καθαρότητι, τούτων δε εγώ απεστέρημαι.

Και του Αγίου

Ιθύνας δι  ἀρετῆς τον βίον σου Όσιε, και τω θείω πόθω Θεώ ενούμενος, όργανον εδείχθης λογικόν, πάσαν την οικουμένην, καταλαμπρύνων μελωδήμασι, θείων θησαυρών αρυόμενος.

Σοφίας της ουρανίου γέγονας έμπλεως· της ψυχής γαρ το στόμα πλατύνας Όσιε, πάσαν εισεδέξω προφανώς, αίγλην την φωτοφόρον, του τρισηλίου αμαρύγματος, ως ιερουργός ιερώτατος.

Κρατύνας τας ψυχικάς δυνάμεις σου Όσιε, και σαρκός κρατήσας ασκήσει γέγονας, όλος φαεινότατος αστήρ, τέρπων την Εκκλησίαν, τοις ορθοδόξοις σου διδάγμασι, και αρμονικοίς μελωδήμασι.

Θεοτοκίον.

Ρυσθήναι των παθημάτων αιχμαλωσίας με, δυσωπώ σε Μήτερ Θεού πανάμωμε, και της αμαρτίας τας ουλάς, πάσας εξαλειφθήναι, την αμαρτίαν η τον αίροντα, κόσμου παραδόξως κυήσασα.

Κάθισμα. Ήχος πλ. δ΄. Την Σοφίαν και Λόγον.

Λαμπρυνθείς την καρδίαν θείω φωτί, εξηρεύξω δογμάτων φωτοειδή, μακάριε λόγια, και τον κόσμον εφώτισας· γεγονώς δε θείον, του Πνεύματος όργανον, ηδυτάτοις φθόγγοις, ηδύνεις εκάστοτε, πάντων τας καρδίας, ανυμνών την Τριάδα, Αγίων τα τάγματα, και Παρθένον την άχραντον, ω Ανδρέα πανεύφημε. Πρέσβευε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, την αγίαν μνήμην σου.

Δόξα. Και νυν. Θεοτοκίον.

Ως Παρθένον και μόνην εν γυναιξί, σε ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζομεν, γενεαί των ανθρώπων· το γαρ πυρ εσκήνωσεν, εν σοι της Θεότητος, και ως βρέφος θηλάζεις, τον Κτίστην και Κύριον· όθεν των Αγγέλων, και ανθρώπων το γένος, αξίως δοξάζουσι, τον πανάγιον τόκον σου, και συμφώνως βοώμέν σοι· Πρέσβευε τω σω Υιώ και Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις καταφεύγουσι πίστει, τη σκέπη σου Άχραντε.

Ωδή δ΄. Της Θεοτόκου. Την θείαν εννοήσας σου.

Ραδίως προς τα πάθη καθέλκομαι, σης βοηθείας γυμνωθείς, Παρθενομήτορ Θεόνυμφε· διο σπλαγχνίσθητι ρύσαι, του πάθους της κακής συνηθείας με.

Ξηράναι της σαρκός τα κινήματα, τω λογισμώ με πρακτικώς, Θεοκυήτορ αξίωσον, και του νοός τη κινήσει, ταις άνω διατρίβειν ευόδωσον.

Υιοί Θεού μεθέξει γενόμεθα, όσοι ελάβομεν Χριστόν, εγώ δε πάλιν αντέστραμμαι, δια κακίαν Παρθένε, υιός της αμαρτίας γενόμενος.

Οδόν της σωτηρίας ουχ εύρηκα, τη αγνωσία της ψυχής, οδόν ζωής η κυήσασα, Θεοκυήτορ Μαρία, οδός μοι σωτηρίας γενήθητι.

Και του Αγίου

Ο λόγος σου τω βίω κοσμούμενος, θεολογίας ακριβούς, κανών εδείχθη θεσπέσιε, της πανυμνήτου Τριάδος, την δόξαν σαφηνίζων τρανότατα.

Την πράξιν θεωρίας επίβασιν, επιδειξάμενος σοφέ, και θεωρία χρησάμενος, της πολιτείας σφραγίδι, Ανδρέα θεηγόρε διέπρεψας.

Ως θείος Ιεράρχης πανόλβιε, ποιμαντικώς προπολεμών, της Εκκλησίας απήλασας, τας των λεόντων εφόδους, Ανδρέα της ανδρείας φερώνυμε.

Μεγίστων εγκωμίων υπόθεσιν, την Θεοτόκον ευρηκώς, σπουδήν εδείκνυς κατάλληλον, την υπερτέραν επαίνων, επαίνοις πολυτρόποις γεραίρων σοφέ.

Θεοτοκίον.

Εκτός μεν συναφείας συνέλαβες, αδιαφθόρως εν γαστρί, πριν ωδινήσαι δε τέτοκας, και μετά τόκον Παρθένος, Θεόν σαρκί τεκούσα πεφύλαξαι.

Ωδή ε΄ . Της Θεοτόκου. Ο αναβαλλόμενος.

Μόνην σε επίσταμαι, Θεογεννήτρια, αμαρτανόντων την προστασίαν, και προς σε κατέφυγον, μη με απορρίψης, τον υπέρ πάντας πταίσαντα.

Ίνα το ανεικαστον, της ευσπλαγχνίας σου, εν εμοί δείξης Παρθενομήτορ, έγειρόν με κείμενον, και της απαθείας τας τρίβους καθυπόδειξον.

Των παθών τα κύματα, συνταρασσόμενα, υπό δαιμόνων σφοδρών πνευμάτων, Αγνή συγκαλύπτουσι, της εμής αθλίας, ψυχής το εφολκάδιον.

Ιλαρώς μοι φάνηθι, Θεογεννήτρια, εν τη εξόδω ηνίκα μέλλη η ψυχή χωρίζεσθαι, του αθλίου σκήνους, και σώσόν με τον δούλόν σου.

Και του Αγίου

Νυν οι σεμνυνόμενοι, τοις σοις διδάγμασι, και μελωδίαις ταις θεοπνεύστοις, ιερώς ηδόμενοι, Ανδρέα παμμάκαρ, την μνήμην σου γεραίρομεν.

Αίγλη λαμπρυνόμενος, του θείου Πνεύματος, τας των Αγίων χοροστασίας, παναγίως ήνεσας· μεθ ὧν νυν αγάλλη, Ανδρέα παμμακάριστε.

Νυν ου δι αἰσθήσεων, φθαρτών του σώματος, ου φαντασίαις οράς τα θεία· νοερώς δε πάνσοφε, ψυχής ενεργείαις, ενούμενος τω κρείττονι.

Θεοτοκίον.

Δάκρυσι προσπίπτω σοι, σφοδρώς δεόμενος, εμών πταισμάτων νυν λυτρωθήναι, δια σου Πανάμωμε, και της αιωνίου, χαράς γενέσθαι άξιον.

Ωδή στ΄. Της Θεοτόκου. Μαινομένην κλύδωνι.

Πειρασμών νιφάδες μοι, επελθούσαι Κόρη χαλεπαί, της ψυχής κατέπτωσαν το οίκημα· διο θρηνών, τη σκέπη, τη ση προσέρχομαι.

Λογισμών ματαίων με, ψυχοφθόρων λύτρωσαι Αγνή, λογισμούς λαβείν δε τους της κρίσεως, και της εκεί αξίωσον καταστάσεως.

Θεϊκής εξέπεσον, ευφροσύνης Μήτερ του Θεού, και θρηνείν απάρχομαι ο άθλιος, όπως εκεί, της θρηνωδίας ρυσθήσωμαι.

Ιαμάτων κρήνην σε, κεκτημένοι Δέσποινα αγνή, οι νοσούντες δίψει παραπτώσεων, προστρέχομεν, και σωτηρίαν λαμβάνομεν.

Ωδή στ΄. Μαινομένην κλύδωνι.

Ρητορεύων ήλεγξας, τους αθέους στόματι λαμπρώ· των σεπτών Εικόνων γαρ ετράνωσας, παναληθώς, ιερομύστα προσκύνησιν.

Ιερώς εκόσμησας, την σην Πάτερ ένδοξε ζωήν· των παθών γαρ τάραχον κατέσβεσας, και προς ζωήν, της απαθείας προσώρμισαι.

Καλλοναίς των λόγων σου, και δογμάτων πάντες οι πιστοί, ευσεβώς ηδόμενοι αγάλλονται, αιρετικών, τας γλωσσαλγίας τρεπόμενοι.

Θεοτοκίον.

Ολικώς ενούταί μοι, ο ανάρχως λάμψας εκ Πατρός, δια της σαρκώσεως πανάμωμε, της δια σου, γεγενημένης Θεόνυμφε.

Κοντάκιον. Ήχος β΄. Τα άνω ζητών,

Σαλπίσας τρανώς, τα θεία μελωδήματα, εδείχθης φωστήρ, τω κόσμω τηλαυγέστατος, τω φωτί λαμπόμενος, της Τριάδος Ανδρέα όσιε· όθεν πάντες βοώμέν σοι· Μη παύση,πρεσβεύων, υπέρ πάντων ημών.

Ο Οίκος.

Τη οικουμένη, ήλιος ώφθης, εκ παστάδος αγίας της νηδύος της σε τεκούσης εκπορευόμενος· αμαυρών πάσαν γλωσσαλγίαν των του Χριστού αθετούντων την Θείαν Εικόνα και της αυτού αγίας Μητρός και πάντων ομού των αθλησάντων εν δόξη, αγίων αυτού, οσίων τε και ιεραρχών, μεθ ὧν πάντες κραυγάζοντες μέλπομεν· Μη παύση, πρεσβεύων υπέρ πάντων ημών.

Συναξάριον.

Τη Δ΄ του αυτού μηνός, μνήμη του εν Αγίοις Πατρός ημών Ανδρέου Κρήτης, του Ιεροσολυμίτου.

Στιχ. Θανών εφεύρε των πόνων στέφος μέγα, Κρήτης ο ποιμήν, ου πόνος Κανών μέγας.

Τη δε τετάρτη αρχιθύτην μόρος Ανδρέαν είλε.

Ωδή ζ΄. Της Θεοτόκου. Ο υπερυψούμενος.

Τις άλλος εξήμαρτεν, ως εγώ Πανύμνητε; τον νουν κατηχρείωσα, την σάρκα εμόλυνα, και πάσας τας αισθήσεις, απημαύρωσα ο τάλας.

Εμέ τον πανάσωτον, εμέ τον πανάθλιον, οικτείρησον Δέσποινα, και δος μοι συγχώρησιν, των πρώην εγκλημάτων, ίνα πόθω σε δοξάζω.

Ονείρων φαντάσμασιν, εχθρός Θεονύμφευτε, πλανάν με επείγεται, προς πτώσιν οιήσεως· αυτού της πανουργίας, Θεοτόκε λύτρωσαί με.

Ράβδω συμπαθείας σου, βακτηρία σκέπης σου, καμέ παρακάλεσον, Αγνή και ελέω σου, της θείας ευσπλαγχνίας, λίπανον την κεφαλήν μου.

Και του Αγίου.

Ίνα την λαμπρότητα, των Αγίων Όσιε, θεάση εν πνεύματι, τοις έργοις ελάμπρυνας, τον βίον σου κραυγάζων· Ο Θεός ευλογητός ει.

Σώμα περικείμενος, ασωμάτων τάγματα, εζήλωσας Όσιε, εν οις αγαλλόμενος, συμφώνως αναμέλπεις· Ο Θεός ευλογητός ει.

Τα Ιεροσόλυμα, νυν λαμπρώς ευφραίνεται, φωστήρα πολύφωτον, τω κόσμω εκπέμψαντα, σε μάκαρ μελωδούντα· Ο Θεός ευλογητός ει.

Θεοτοκίον.

Ο πριν μεν ασώματος, σωματούται Πάναγνε, δι οἶκτον αμέτρητον, εκ μήτρας αγίας σου, ω πάντες μελωδούμεν· Ο Θεός ευλογητός ει.

Ωδή η΄. Της Θεοτόκου. Σοι τω παντουργώ.

Χάριν ειληφώς, υιοθεσίας θείας, τω θείω βαπτίσματι, ταύτην απώλεσα, πράξας αθέσμους, εν βίω αμαρτίας· όθεν δυσωπώ σε, Παρθένε οίκτειρόν με.

Ρίζης αναιδούς, της φιλαυτίας κλάδοι, Παρθένε πεφύκασι, κόρος και άνεσις· όθεν εκφύει, εσμός παθών ποικίλων, σε ουν δυσωπούμεν, την ρίζαν ξηρανθήναι.

Αίρω την φωνήν, μετά κλαυθμού σοι κράζων, οίνον κατανύξεως, Αγνή με πότισον, άρτου δακρύων, ενταύθα έμπλησόν με, ίνα μη εκείσε, πεινάσω και διψήσω.

Μόνος αποστάς, της θείας θεωρίας, κτηνώδης γεγένημαι, και τεθηρίωμαι, μόνη τον Κτίστην; αφράστως τετοκυΐα, λύτρωσαί με Κόρη, της εν φλογί γεέννης.

Και του Αγίου.

Νέας κιβωτού, της Εκκλησίας Πάτερ, φαιδρώς προεσκίρτησας, χορούς στησάμενος· Πάντα τα έργα, Χριστόν βοών υμνείτε, και υπερυψούτε, εις πάντας τους αιώνας.

Άσμα το καινόν, εν Εκκλησία Πάτερ, Οσίων εκραύγαζες, τω Παντοκράτορι· Πάντα τα έργα, τον Κύριον υμνείτε, και υπερυψούτε, εις πάντας τους αιώνας.

Νέμων αρετή, θεοπρεπώς τα έργα, τους άθλους ανύμνησας, Ανδρέα πάνσοφε, πάντων Αγίων, των πριν θαυμαστωθέντων, και τελειωθέντων, Χριστώ εις τους αιώνας.

Θεοτοκίον.

Δεύτε την αγνήν, και Θεοτόκον Κόρην, υμνήσωμεν λέγοντες, ενθέοις άσμασι· Χαίρε Παρθένε, δι ἧς χαρά εδόθη, φύσει των ανθρώπων, υπερευλογημένη.

Ωδή θ΄. Της Θεοτόκου. Ησαΐα χόρευε.

Νοεράν την αίσθησιν, τη ψυχή μου δώρησαι Αγνή, νεκρώσαι τας απρεπείς, πρώην ηδονάς, ας τίκτειν ειώθασιν, αι αισθήσεις, αι σωματικαί, όπως γενήσωμαι, οικητήριον του Πνεύματος.

Ουδαμώς ανέλιπον, Θεομήτορ πράττων τα αισχρά, εκ βρέφους αναδειχθείς, οίκος των παθών, καν νυν εν τω γήρα μου, μεταγνώναι, δος μοι λογισμόν, ίσως εκφύγοιμι, τας κολάσεις τας μελλούσας με.

Κρημνώ παραπτώσεων, ολισθήσας πέπτωκα δεινώς, εξ ύψους των αρετών, Δέσποινα αγνή· συ ουν η αντίληψις, των ασθενών, και αμαρτωλών, χείρά μοι πάρασχε, βοηθείας τω ικέτη σου.

Φοβεί με κριτήριον, Θεομήτορ το δεσποτικόν, και δέδοικα ως πολλών, έμπλεως κακών, πλην εις σε κατέφυγον, καταφυγή, των αμαρτωλών, και μη απώση με, αλλά σώσον τω ελέει σου.

Και του Αγίου.

Ρημάτων ο φθόγγος σου, δια πάσης έδραμε της γης, δογμάτων τε το τερπνόν, και ειλικρινές, Ανδρέα μακάριε· διο Χριστός, ο παμβασιλεύς, σε εστεφάνωσεν, ευπρεπείας διαδήματι.

Εν ενώσει κρείττονι, απολαύων αίγλης τριλαμπούς, Ανδρέα μυσταγωγέ, των υπερφυών, τους πόθω τελούντάς σου, την ιεράν, μνήμην ιερώς, νυν ταις πρεσβείαις σου, εκ κινδύνων διαφύλαττε.

Ασωμάτων τάξεσι, συνευφραίνη νυν εν ουρανοίς, τον τούτων επί της γης, βίον ακλινώς, ως πολιτευσάμενος, και της ορθής, πίστεως φανείς, κήρυξ πανάριστος, θεορρήμον αξιάγαστε.

Θεοτοκίον.

Νεμομένην έστησας, του θανάτου άσχετον ορμήν, τεκούσα σωματικώς, όντως υπέρ νουν, ζωήν την αιώνιον, η προσβαλών, στόματι πικρώ, Άδης κατήργηται, Θεοτόκε Μητροπάρθενε.

Εξαποστειλάριον. Ο ουρανόν τοις άστροις.

Αρχιερέων κλέος, και των πιστών προασπιστής, συ ανεδείχθης Ανδρέα, πάτερ και στήλη αρετών διο μνημόνευε πάντων, των ανυμνούντων σε πόθω.

Θεοτοκίον.

Ο γλυκασμός των Αγγέλων, των θλιβομένων η χαρά, Χριστιανών η προστάτις, Παρθένε Μήτηρ Κυρίου, αντιλαβού μου και ρύσαι, των αιωνίων βασάνων;

Εις τους Αίνους, ιστώμεν στίχους δ΄ και ψάλλομεν Προσόμοια.

Ήχος δ΄. Ως γενναίον εν Μάρτυσιν.

Την ψυχήν και το σώμά σου, των παθών καθηράμενος, του Αγίου Πνεύματος οίκος γέγονας και ιερέων εν χρίσματι, σαυτόν κατεκόσμησας, παραστάτης δεξιός, χρηματίσας Ανδρέα τε, και συνόμιλος, των αγίων Αγγέλων και της δόξης, του Κυρίου κληρονόμος, και Κρήτης μέγας υπέρμαχος.

Αληθείας εδραίωμα, και της πίστεως έρεισμα, και δογμάτων πρόβολον σε γιγνώσκομεν, της ευσεβείας συνήγορον, αγνείας το σκήνωμα, και δοχείον εκλεκτόν, ευωδίας του Πνεύματος, και παμμέγιστον, θησαυρόν διδαγμάτων και κρηπίδα, του Χριστού της Εκκλησίας, Ανδρέα Κρήτης θεόπνευστε.

Αποστόλων διάδοχον, υμνογράφων τον μέγιστον, ασκητών ομόζηλον ευφημούμέν σε, και διδασκάλων εκσφράγισμα, και θείον εκτύπωμα, και Χριστού μυσταγωγόν, Ανδρέα Κρήτης μακάριε, και θεόρρυτον, ποταμόν ιαμάτων τας ανόμους, και βλασφήμους διανοίας, κατακαλύπτοντα πάνσοφε.

Της σοφίας το τάλαντον, πλεονάσας πανόλβιε, της χαράς ηξίωσαι του Κυρίου σου, πεποικιλμένος τη χάριτι, της θείας ελλάμψεως, και τη αίγλη νοητώς, αποστίλβων του Πνεύματος, , νυν παρίστασαι, δεξιά ζωηφόρω λαμπηδόσιν, ουρανίοις αενάως καταστραπτόμενος ένδοξε.

Δόξα. Ήχος α΄.

Αγάλλου εν Κυρίω η μεγαλόνησος Κρήτη, απόδυσαι τον πενθήρη σάκκον, και χιτώνα ευφροσύνης περίζωσαι· ει γαρ και θρόνος του Σατανά γεγένησαι πρότερον κατά το γεγραμμένον, και το σκότος πάλαι έφερες της ασεβείας, αλλ ἰδοὺ νυν πολιούχον πλουτείς θαυμαστόν, Ανδρέαν τον λαμπρόν Ιεράρχην και πάνσοφον, αντίπαλον της ασεβείας, και της ευσεβείας υπέρμαχον, ιατρόν αδάπανον ψυχών τε και σωμάτων, και αεί πρεσβεύοντα τω Κυρίω, ελεηθήναι τας ψυχάς ημών.

Και νυν.

Αμαρτωλών τας δεήσεις προσδεχομένη, και θλιβομένων στεναγμόν μη παρορώσα, πρέσβευε τω εξ αγνών λαγόνων σου, σωθήναι ημάς Παναγία Παρθένε.

Δοξολογία μεγάλη και Απόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Απόστολος και Ευαγγέλιον του Χρυσοστόμου. (Νοεμβρίου 13).

Κοινωνικόν. Εις μνημόσυνον αιώνιον έσται δίκαιος.

Μεγαλυνάριον.

Χαίροις Εκκλησίας θείος αυλός, Ανδρέα Παμμάκαρ, και του Πνεύματος θησαυρός. Χαίροις ο της Κρήτης, ποιμήν ο θεηγόρος, και ημών προστάτης, και η αντίληψις.